ὦ πόλις, ὦ γῆ, καὶ λευκὸν ὕδωρ,
ὕπατοί τε θεοί, καὶ βαρύτιμοι
χθόνιοι θήκας κατέχοντες,
καὶ Ζεὺς σωτὴρ τρίτος, οἰκοφύλαξ
ὁσίων ἀνδρῶν, δέξασθ' ἱκέτην
τὸν θηλυγενῆ στόλον αἰδοίῳ
πνεύματι χώρας· ἀρσενοπληθῆ δ'
ἑσμὸν ὑβριστὴν Αἰγυπτογενῆ,
πρὶν πόδα χέρσῳ τῇδ' ἐν ἀσώδει
θεῖναι, ξὺν ὄχῳ ταχυήρει
πέμψατε πόντονδ'· ἔνθα δὲ λαίλαπι
χειμωνοτύπῳ, βροντῇ στεροπῇ τ'
ὀμβροφόροισίν τ' ἀνέμοις ἀγρίας
ἁλὸς ἀντήσαντες ὄλοιντο,
πρίν ποτε λέκτρων, ὧν θέμις εἴργει,
σφετεριξάμενοι πατραδέλφειαν
τήνδ' ἀκόντων ἐπιβῆναι.

νῦν δ' ἐπικεκλομένα [στρ. α.
Δῖον πόρτιν ὑπερ-
πόντιον τιμάορ' ἶνίν τ'
ἀνθονόμον τᾶς προγόνου
βοὸς ἐξ ἐπιπνοίας
Ζηνός· ἔφαψιν ἐπωνυμίᾳ
δ' ἐπεκραίνετο μόρσιμος αἰὼν
εὐλόγως, Ἔπαφόν τ' ἐγέννασεν·



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416177115/12 UNIVERSITÄT LEIPZIG